Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-313847-p0001-2

Sbd

E libris
**gymnasio Mauritiano Magdeburgensi**
a venerabili
**Carolo Funk**
**theol. doctore et gymnasii directore**
**a. 1857 hereditate relictis.**

G. f. 171.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-313847-p0002-8

38

Ἔλεγος χαριστήριος

εἰς μνήμην

τοῦ νῦν ἐν ἁγίοις

Ἀνδρὸς μεγαλωνύμου

ὡς ὅτι μάλιστα σεβαστοῦ, θεοσέπτου, καὶ πολυμαθεστάτου

# ΚΥΡΙΟΥ

# ἸΩΑΝΝΟΥ ἈΝΑΣΤΑΣΙΟΥ ΦΡΕΥΛΙΓΧΟΥΣΙΟΥ,

ρέως μὲν πρώτου ἐν τῷ τοῦ ἁγίου ὈΥΛΔΑΡΙΚΟΥ παρωνύμῳ ναῷ,

Γυμνασιάρχου τε ἐν τῷ παλαιῷ Γυμνασίῳ τῆς Ἅλης Σαξονικῆς, καὶ Προστάτου τοῦ τε Παιδαγωγείου

Βασιλικοῦ, καὶ Ὀρφανοτροφείου Γλαυχικοῦ σοφεπισοφωτάτου, καὶ πιστεπιπιστοτάτου,

ἑοῦ ποτε Διδασκάλου ποτνιωτάτου,

γεννηθέντος

ἐν τῷ τῆς χριστογονίας ἔτει Χ|Η|Η|Δ|ΔΔ

καὶ θανόντος Χ|Η|ΗΗΔΔΔΠΙΙΙΙ.

ᾀδόμενος ἐν τῷ ἐτασμῷ

τῆς τρίτης τάξεως τοῦ Γυμνασίου

πρὸς τοῦ

Ἰωάννου Γοδοφρήδου Ταυστίου

διδασκάλου τρίτου καὶ πρεσβυτέρου.

Ἐν Ἅλῃ Σαξονικῇ

Τοῖς γράμμασι Ἰωάννου Γοδοφρήδου Μευίου, τοῦ τυπογράφου.

AK

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-313847-p0003-3

Ἐν τούτῳ νίκη

Α. ☧ Ω.

Ι. Α. Φ.

*Πάντοτε σὺν Χριστῷ ταφθεὶς διαπαντὸς ἀνέστη.*

Μέλπ' ἄγε θεσπεσίης σοφίης φιλεράστρια Μοῦσα,
    Μέλπ' ἄγε νῦν γοερόν θ' ἠδύπικρόντε μέλος.
Ἥρπασε φεῦ! θάνατος τὸν ΦΡΕΥΛΙΓΧΟΥΣΙΟΝ ἄνδρα,
    Χριστοσεβοῦς ποίμνης μηλοβοτῆρα σοφόν.
Πένθιμον ᾆδε μέλος· σὸν φῶς κατέδυσε φαεινὸν,
    Ὦ ἌΛΛΗ θαλερὴ! πένθιμον ᾆδε μέλος.
Πίπτεν ἈΝΑΣΤΑΣΙΟΣ, τοῦ κυδαλιμώτερος οὔτις
    Πώποτ' Ἀναστασίων, πίπτεν ἈΝΑΣΤΑΣΙΟΣ.

Ἡμετέρου καὶ Γυμνασίου πολυφίλτατα τέκνα,

    Ξὺν κρηνῶν ἁλυκῶν δάκρυα χεῖτε ἅλις.

Δάκρυα Γλαυχιακαί θ᾽ ὑμεῖς συνχεῖτε Σαλάιῳ

    Πιερίδες ποταμῷ, Ἀλβιακῷ τε Σάλῃ.

Ἄλβι πάτερ πάλιν Ὠκεανῷ ἀγόρευε μεγίστῳ

    Κάτθανε φεῦ! ὁ μέγας κάτθαν᾽ ἈΝΑΣΤΑΣΙΟΣ.

Νάματα Ὠκεανοῖο πάλιν κηρύττετε Ἰνδοῖς

    Ἀμφοτέροισι, μέγας κάτθαν᾽ ἈΝΑΣΤΑΣΙΟΣ.

Οὔρεα καὶ βοῦνοι χ᾽ ὕλαι, ποταμοί τε, θάλασσαι,

    Ἄστεα Φαιδρὰ ἐμοῦ, καὶ πτολίεθρα μικρὰ,

Μέλπετ᾽ ἀκηχεμένων μετ᾽ ὀπῶν, στεναχίζετε αἰὲν·

    Κάτθαν᾽ ἈΘΑΝΝΑΣΙΟΣ, πίπτεν ἈΝΑΣΤΑΣΙΟΣ.

Πένθεα θ᾽ ὑστάτιον καταπάυετε τόσσα ἀείδειν

    Ἀιδέσιμοι κοῦραι νῦν Ἑλικωνιάδες,

Ἀμβροσίην τε πατρὶ τῷ ὑψιμέδοντι ἀοιδὴν

    Μέλπετε ἡδυεπεῖς τρισαγίῳ τε Θεῷ,

Οὔτινος ἡ σοφίη ἀρχαιοτέρηγε ἁπάντων

    Ἀΐδιός τε φρόνις παντοτελής τε χάρις

Θέσκελον ἐν τόσσῳ τοῦτον μεγαλάνδρα δέδωκε

    Εὐκαίρως καιρῷ ὔμμι ὁδηγὸν ἔχειν.

Παμμεγέθης ὁ ἄναξ τὰ ὑπέρτατα δώματα νάιων,

    Πάντοθ᾽ ἐὸν στέρξας ποίμνιον οὐράνιον,

Ὅστις ἐνὶ βροτέοις τάλασιν φανεροῦται μέγιστος,

    Ἐν μικροῖς τε ἀεὶ ὀβριμοεργὸς ἔφυ.

Γνόντες ἈΝΑΣΤΑΣΙΟΥ πίστιν, σοφίηντ᾽, ἀγάπηντε

    Κρήνην τῶν θ᾽ ἅγιον σεμνολογεῖτε Θεόν.

Γνόντες ʼΑΝΑΣΤΑΣΙΟΥ καμάτȣς μοχθȣ́ς τε ἀγαϑȣ̀ς

Κλέιετε πάντα καλῶς σφόδρα ποιȣ͂ντα Θεόν.

Πάντες ʼΑΝΑΣΤΑΣΙΟΥ περιλάμπεα γράμματα γνόντες

ʼΑΐδιον τὸ φάος δοξολογεῖτε Θεόν.

---

Θνῆσκεν ʼΑΝΑΣΤΑΣΙΟΣ· ϑνήσκων τε φαεινὸς ἀνέϛη,

Ζῆ τε ἁμαρτοσυνῶν ἄντα Θεȣ͂ καθαρός.

---

Vltimus Pentameter ex cedro digno Pauli Dolſcii, olim Rectoris Gymnaſii Halenſis, dein conſulis ciuitatis noſtræ egregii, Epitaphio æri inciſo, quod vero iniuria temporis intercidit, deſumtus, & perſona tantum verbi ζῶ immutatus eſt. Sic autem habuit, citante D. Gottofredo Oleario in Halygraphia p. m. 318.

Dolſcius hac Paulus poſt fata quieſcit in urna,

Qui Doctor medica clarus in arte fuit.

Præfuit ille ſcholæ, templis et fontibus, urbi,

Vixit, et ætherea viuit in æde poli.

ʼΟυ ϑάνον, ἀλλὰ βίον προλιπῶν κακὸν ἦυρον ἀμείνω,

Ζῶ τε ἁμαρτοσυνῶν ἄντα Θεȣ͂ καθαρός.

78 M 428

Sign. (188) fehlt bzw.
tatl. nicht vergeben!

ULB Halle 3
002 108 178

Sb.

VD17

R140

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-313847-p0008-1

38

# Ἔλεγος χαριςήριος

εἰς μνήμην

τȣ̃ νῦν ἐν ἁγίοις

Ἀνδρὸς μεγαλωνύμȣ

ὡς ὅτι μάλιςα σεβαςȣ̃, θεοσέπτȣ, καὶ πολυμαθεςάτȣ

ΚΥΡΙΟΥ

...Φ. ἈΝΑΣΤΑΣΙΟΥ

...ΛΙΓΧΟΥΣΙΟΥ,

...ȣ̃ ἁγίȣ ὈΥΛΔΑΡΙΚΟΥ παρωνύμῳ ναῷ,

...ασίῳ τῆς Ἅλης Σαξονικῆς, καὶ Προςάτȣ τȣ̃ τε Παιδαγωγείȣ

...ȣ Γλαυχικȣ̃ σοφεπισοφωτάτȣ, καὶ πιςεπιπιςοτάτȣ,

...οτε Διδασκάλȣ ποτνιωτάτȣ,

γεννηθέντος

...ρισογονίας ἔτει Χ|Η|Η|Δ|ΔΔ

...νόντος Χ|Η|ΗΗΔΔΔΠΙΙΙΙ.

...ιδόμενος ἐν τῷ ἐτασμῷ

...ης τάξεως τȣ̃ Γυμνασίȣ

πρὸς τȣ̃

...Γοδοφρήδȣ Ταυςίȣ

...σκάλȣ τρίτȣ καὶ πρεσβυτέρȣ.

---

...Ἅλῃ Σαξονικῇ

...ννȣ Γοδοφρήδȣ Μευίȣ, τȣ̃ τυπογράφȣ.

AK

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-313847-p0009-0
DFG